## ΠΡΟΒΛΗΜΑ Δ

*Πότερον ψυχρότεραι τῇ κράσει τῶν ἀνδρῶν ἢ θερμότεραί εἰσιν αἱ γυναῖκες*

Collocuntur Apollonides, Athryitus, Florus

F **1.** Ὁ μὲν οὖν Σύλλας ταῦτ' εἶπεν. ὁ δὲ τακτικὸς
Ἀπολλωνίδης ἔφη τὸν μὲν περὶ τῶν γερόντων ἀποδέ-
χεσθαι λόγον· ἐν δὲ ταῖς γυναιξὶν αὐτῷ δοκεῖν παρα-
λελεῖφθαι τὸ τῆς ψυχρότητος, ᾗ θερμότατον ἄκρατον
ἀποσβέννυσθαι καὶ ἀποβάλλειν τὸ πλῆττον καὶ πυρῶδες.
651 πιθανοῦ δὲ καὶ τούτου δοκοῦντος, | Ἀθρυΐτος ὁ Θάσιος
ἰατρὸς ἐμβαλών τινα τῇ ζητήσει διατριβὴν εἶναί τινας
ἔφησεν, οἳ τὰς γυναῖκας οὐ ψυχρὰς ἀλλὰ θερμοτέρας τῶν
ἀνδρῶν ὑπολαμβάνουσιν, ἑτέρους δὲ πάλιν οἳ τὸν οἶνον οὐ
θερμὸν ἀλλὰ καὶ ψυχρὸν ἡγοῦνται.

**2.** Θαυμάσαντος δὲ τοῦ Φλώρου, ʽτὸν μὲν περὶ τοῦ οἴνου
λόγονʼ εἶπεν ʽἀφίημι τούτῳʼ δείξας ἐμέ· καὶ γὰρ ἐτυγχά-
νομεν ὀλίγαις ἡμέραις πρότερον εἰς τοῦτο διειλεγμένοι·
ʽτῶν δὲ γυναικῶνʼ ἔφη ʽτὴν θερμότητα πρῶτον ἀπὸ τῆς
ψιλότητος οἴονται δεικνύναι, καταναλισκομένου τοῦ περιτ-
τώματος ὑπὸ τῆς θερμότητος, ὃ πλεονάζον εἰς τρίχας
τρέπεται· δεύτερον δὲ τῷ πλήθει τοῦ αἵματος, ὃ πηγὴ μὲν
B εἶναι δοκεῖ τῆς ἐν τῷ σώματι θερμότητος, ἔστι δὲ τοσοῦ-
τον ταῖς γυναιξίν, ὥστ' αὐτὰς καταπιμπράναι καὶ περι-
φλέγειν, εἰ μὴ πολλαὶ καὶ ταχεῖαι συμβαίνοιεν καθάρσεις.